eul_wid: fdc-ab

*Φιλύλλιος ὁ Κωμικός* · Philyllius the Comic Poet

# Fragments of a Comic Feast

*Ἀποσπάσματα Συμποσίου Κωμικοῦ*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1 Ὁ πάππος ἦν μοι γαλεὸς ἀστερίας.
book 1.1 Καὶ δὴ δεδειπνήκασιν αἱ γυναῖκες· ἀλλ’ ἀφαιρεῖν ὥρα ’στὶν ἤδη τὰς
book 1.2 τραπέζας, εἶτα
book 1.3 παρακορῆσαι, ἔπειτα κατὰ χειρῶν ἑκάστῃ καὶ μύρον
book 1.4 τι δοῦναι.
book 2.1 Αὐτὸς φέρων πάρειμι
book 2.2 πυρῶν ἐκγόνους
book 2.3 τριμήνων γαλακτοχρῶτας κολλάβους θερμούς.
book 3.1 Πάντα γὰρ ἦν μέστ’ ἀνδρῶν καὶ μειρακίων
book 3.2 πινόντων, ὁμοῦ δ’ ἄλλων γρᾳδίων μεγάλαισιν οἴ-[ln_5]νου
book 3.3 χαίροντα λεπασταῖς.
book 1.1 Σοὶ μὲν οὖν τήνδ’, ἀμφορεῦ, δίδωμι
book 1.2 τιμήν, πρῶτα μὲν
book 1.3 τοῦτ’ αὔτ’ ἔχειν ὄνομα μετρητὴν μετριότητος οὕνεκα.
book 1.1 Βούλεσθε δῆτ’ ἐγὼ φράσω τίς εἴμ’ ἐγώ; ἡ τῶν
book 1.2 προτενθῶν Δορπία καλουμένη.
book 1 Πουλυπόδειον. σηπιδάριον, κάραβον, ἀστακόν, ὄστρειον, χήμας, λεπάδας, σωλῆνας, μῦς, πίννας, κτένας ἐκ Μυ-[ln_2]τιλήνης· αἴρετ’ ἀνθρακίδας, τρίγλη, σαργός, κεστρεύς, πέρκη, κο-[ln_3]ρακῖνος.
book 2.1 Ὅ τι ἂν τύχῃ μάγειρος ἀδικήσας, τὸν αὐλητὴν λαβεῖν
book 2.2 πληγάς.
book 3.1 Ἐκ τᾶς
book 3.2 πινακίδος δ’ ἀμπερέως, ὅ τι κἂν λέγῃ τὰ γράμμαθ’, ἑρμήνευε.
book 4.1 Σπαθᾶν τὸν ἱστὸν οὐκ ἔσται
book 4.2 σπάθῃ.

book 5 Κοσκινοποιός, κηπεύς, κουρεύς, ἀνθρακοπώλης.

book 1 Προὔδωκεν αὐτὸν ὁ τόρος· ἦν γὰρ ἀσθενής.

book 2-3 Ἀμύγδαλα, καρύδι’, ἐπιφορήματα.

book 1.1 Ἕλκειν τὸ βέδυ

book 1.2 σωτήριον

book 1.3 προσεύχομαι, ὅπερ μέγιστόν ἐστιν ὑγιείας μέρος, τὸ τὸν ἀέρ’ ἕλκειν καθαρὸν οὐ τεθολωμένον.

book 2-3 Οὐκ εἰμὶ τέττιξ οὐδὲ κοχλίας ὦ γύναι. Μαινίδες * * σκόμβροι, κοχλίαι, κορακῖνοι.

book 4 Τὸ κάταγμα κροκυδίζουσαν αὐτὴν κατέλαβον.

book 5.1 Ἥτις κάμηλος ἔτεκε τὸν

book 5.2 Φιλωνίδην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org